*δὲ νομίζουσιν Ἔρωτα τὸν ἥλιον, Ἀφροδίτην * * ἔχουσι
μάλα σεβάσμιον. ‛ἡμεῖς δὲ πολλὴν μὲν Ἔρωτος ὁμοιό-
τητα πρὸς τὸν ἥλιον ὁρῶμεν οὖσαν. πῦρ μὲν γὰρ οὐδέτε-
ρός ἐστιν ὥσπερ οἴονταί τινες, αὐ⟨γὴ⟩ δὲ καὶ θερμότης
γλυκεῖα καὶ γόνιμος ἡ μὲν ἀπ᾽ ἐκείνου φερομένη σώματι
παρέχει τροφὴν καὶ φῶς καὶ αὔξησιν, ἡ δ᾽ ἀπὸ τούτου
ψυχαῖς. ὡς δ᾽ ἥλιος ἐκ νεφῶν καὶ μετ᾽ ὁμίχλην θερμό-
C τερος, οὕτως Ἔρως μετ᾽ ὀργῆς καὶ ζηλοτυπίας ἐρωμένου
διαλλαγέντος ἡδίων καὶ δριμύτερος. ἔτι δ᾽ ὥσπερ ἥλιον
ἅπτεσθαι καὶ σβέννυσθαι δοκοῦσιν ἔνιοι, ταὐτὰ καὶ περὶ
Ἔρωτος ὡς θνητοῦ καὶ ἀβεβαίου διανοοῦνται. καὶ μὴν
οὔτε σώματος ἀγύμναστος ἕξις ἥλιον οὔτ᾽ Ἔρωτα δύνα-
ται φέρειν ἀλύπως τρόπος ἀπαιδεύτου ψυχῆς· ἐξίσταται
δ᾽ ὁμοίως ἑκάτερον καὶ νοσεῖ, τὴν τοῦ θεοῦ δύναμιν οὐ
τὴν αὑτοῦ μεμφόμενον ἀσθένειαν. πλὴν ἐκείνῃ γε δό-
ξειαν ἂν διαφέρειν, ᾗ δείκνυσιν ἥλιος μὲν ἐπίσης τὰ καλὰ
καὶ τὰ αἰσχρὰ τοῖς ὁρῶσιν, Ἔρως δὲ μόνων τῶν καλῶν
φέγγος ἐστὶ καὶ πρὸς ταῦτα μόνα τοὺς ἐρῶντας ἀναπείθει
D βλέπειν καὶ στρέφεσθαι, τῶν δ᾽ ἄλλων πάντων περιορᾶν.*